e | rara

www.e-rara.ch

# Poiēseis Homērou amphō hē te Ilias kai hē Odysseia, hypo te Iakōbou tou Mikyllou kai Iōacheimou Kamerariou, spoudaiōs pros tēn nyni ekdosin paraskeuastheisai

## Homerus

## [Basel], [1541]

## Universitätsbibliothek Basel

Persistent Link: https://doi.org/10.3931/e-rara-124317

Iliados T

**www.e-rara.ch**
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d’imprimés conservés dans les bibliothèques de Suisse. L’éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l’imprimerie jusqu’au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

**Nutzungsbedingungen** Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

**Terms of Use** This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

**Conditions d'utilisation** Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

**Condizioni di utilizzo** Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

Visual Library

# ΥΠΟΘΕΣΙΣ ΤΗΣ Τ ΤΟΥ ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Θέτιδος κομισάσης Ἀχιλλεῖ τὰ ὅπλα παρὰ Ἡφαίστου συναγαγὼν εἰς ἐκκλησίαν τοὺς Ἕλληνας ὁ ἥρως ἀπόρρησιν ποιεῖται τῆς μήνιδος. καὶ λαμβάνει τὰ δῶρα ἅπερ αὐτῷ Ἀγαμέμνων δώσειν ὑπέσχετο. τροφὴν δὲ ἀνελομένων ἐκείνων, αὐτὸς ἄσιτος διαμένας, ὁπλίζεται καὶ στρατιὰν ἐξάγει ἐπὶ τὸν πόλεμον. ὁ δὲ ἕτερος τῶν ἵππων αὐτοῦ ξάνθος τὴν ἐσομένην αὐτῷ ἀναίρεσιν καταμαντεύεται, ᾧ καὶ ἐπιπλήττει.

## ΣΧΟΛΙΑ ΕΙΣ ΤΗΝ Τ ΤΟΥ Ὁμήρου ῥαψῳδίαν.

Περικείμενον.] περιπεπλεγμένον. λιγέως.] περιπαθῶς. ὀδυνηρῶς, ὀξέως. μύροντο.] ἐθρήνουν. ἰότητι.] βουλήσει. τύνη.] σὺ, δωρικῶς. ἀνέβραχε.] ποιὸν ἦχον ἀπετέλεσεν. ἔτρεσαν.] ἐφοβήθησαν. ἐτάρπετο.] ἐτέρφθη. οἷ' ἐπιεικές.] ὁποῖα εἰκὸς θεοῦ δῶρα εἶναι. τουτέστιν οἷα ἔπρεπε θεὸν παρέχειν. ἐπιεικὲς γὰρ τὸ πρέπον. καδδῦσαι.] κατελθοῦσαι. χαλκοτύπους.] ὑπὸ σιδήρου βληθέντας. εὐλὰς ἐγγείνωνται.] σκώληκας ἐγγεννήσωσιν. ἴσως δὲ εἴρηνται εὐλαὶ οἱ σκώληκες παρὰ τὴν εἴλησιν. ἀεικίσωσιν.] ἀφανίσωσιν, αἰκίσωσιν. ἐκ δ' αἰὼν πέφαται.] ἤτοι ἀνῄρηται ὁ βίος. ὅ ἐστι ζωῆς ἐστέρηται. ἢ ὡς οἱ γλωσσογράφοι. αἰὼν ἐφθάρται. ὅ ἐστιν ὁ νωτιαῖος μυελός. πέφαται.] τέτρωται, ἀνῄρηται, ἠφάνισται.

μελόντων.] ἀντὶ τοῦ μελέτωσαν. πειρήσω.] πειράσομαι. ἀλαλκεῖν.] ἀλεξῆσαι, βοηθῆσαι. φῦλα.] ἔθνη, γένη. ἀρηϊφάτους.] ἐν πολέμοις πεφονευμένους, ἢ σιδήρῳ. καὶ γὰρ ὁ σίδηρος ἄρης. κεῖται.] ἀντὶ τοῦ κεῖται. τελεσφόρον.] τὸν πάντα τελειοῦντα. ὅ ἐστι τελείους καρποὺς φέροντα.

ἐνιαυτόν.]

## ΙΛΙΑΔΟΣ Τ ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Ταῦ δ' ἀπέληγε χόλοιο, καὶ ἔκθορε δῖος Ἀχιλλεύς.

ΗΩΣ μὲν κροκόπεπλος ἀπ' ὠκεανοῖο ῥοάων
Ὤρνυθ', ἵν' ἀθανάτοισι φόως φέροι, ἠδὲ βροτοῖσιν.
Ἡ δ' ἐς νῆας ἵκανε θεοῦ πάρα, δῶρα φέρουσα.
Εὗρε δὲ Πατρόκλῳ περικείμενον ὃν φίλον υἱόν,
Κλαίοντα λιγέως, πολέες δ' ἀμφ' αὐτὸν ἑταῖροι
Μύρονθ', ἡ δ' ἐν τοῖσι παρίστατο δῖα θεάων,
Ἔν τ' ἄρα οἱ φῦ χειρί, ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε.
Τέκνον ἐμόν, τοῦτον μὲν ἐάσομεν ἀχνύμενοί περ
Κεῖσθαι. ἐπειδὴ πρῶτα θεῶν ἰότητι δαμάσθη.
Τύνη δ' Ἡφαίστοιο πάρα κλυτὰ τεύχεα δέξο
Καλὰ μάλ', οἷ' οὔπω τις ἀνὴρ ὤμοισι φόρησεν.
Ὣς ἄρα φωνήσασα θεά, κατὰ τεύχε' ἔθηκε,
Πρόσθεν Ἀχιλλῆος, τὰ δ' ἀνέβραχε δαίδαλα πάντα.
Μυρμιδόνας δ' ἄρα πάντας ἕλε τρόμος, οὐδέ τις ἔτλη
Ἄντην εἰσιδέειν, ἀλλ' ἔτρεσαν, αὐτὰρ Ἀχιλλεὺς
Ὡς εἶδ' ὥς μιν μᾶλλον ἔδυ χόλος, ἐν δέ οἱ ὄσσε,
Δεινὸν ὑπὸ βλεφάρων ὡσεὶ σέλας ἐξεφάανθεν,
Τέρπετο δ' ἐν χείρεσσιν ἔχων θεοῦ ἀγλαὰ δῶρα,
Αὐτὰρ ἐπεὶ φρεσὶν ᾗσιν ἐτάρπετο δαίδαλα λεύσσων
Αὐτίκα μητέρα ἣν ἔπεα πτερόεντα προσηύδα.
Μῆτερ ἐμή. τὰ μὲν ὅπλα θεὸς πόρεν οἷ' ἐπιεικὲς
Ἔργ' ἔμεν ἀθανάτων, μὴ δὲ βροτὸν ἄνδρα τελέσαι.
Νῦν δ' ἤτοι μὲν ἐγὼ θωρήξομαι. ἀλλὰ μάλ' αἰνῶς
Δείδω μή μοι τόφρα Μενοιτίου ἄλκιμον υἱὸν
Μυῖαι καδδῦσαι κατὰ χαλκοτύπους ὠτειλάς,
Εὐλὰς ἐγγείνωνται, ἀεικίσωσι δὲ νεκρόν.
Ἐκ δ' αἰὼν πέφαται, κατὰ δὲ χρόα πάντα σαπείη.
Τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ Θέτις ἀργυρόπεζα.
Τέκνον, μή τοι ταῦτα μετὰ φρεσὶ σῇσι μελόντων.
Τῷ μὲν ἐγὼ πειρήσομαι ἀλαλκεῖν ἄγρια φῦλα,
Μυίας αἵ ῥά τε φῶτας ἀρηϊφάτους κατέδουσι.
Ἤν περ γὰρ κεῖταί γε τελεσφόρον εἰς ἐνιαυτόν,
Αἰεὶ τῷδ' ἔσται χρὼς ἔμπεδος, ἢ καὶ ἀρείων.

Ἀλλὰ

Ἀλλὰ σύ γ' εἰς ἀγορὴν καλέσας ἥρωας Ἀχαιοὺς,
Μῆνιν ἀποειπὼν Ἀγαμέμνονι ποιμένι λαῶν,
Αἶψα μάλ' ἐς πόλεμον θωρήσσεο, δύσεο δ' ἀλκήν.
Ὣς ἄρα φωνήσασα, μένος πολυθαρσὲς ἐνῆκε,
Πατρόκλῳ δ' αὖτ' ἀμβροσίην καὶ νέκταρ ἐρυθρὸν
Στάξε κατὰ ῥινῶν, ἵνα οἱ χρὼς ἔμπεδος εἴη,
Αὐτὰρ ὁ βῆ παρὰ θῖνα θαλάσσης δῖος Ἀχιλλεὺς,
Σμερδαλέα ἰάχων, ὦρσεν δ' ἥρωας Ἀχαιοὺς,
Καί ῥ' οἵ περ τὸ πάρος γε νεῶν ἐν ἀγῶνι μένεσκον,
Οἵ τε κυβερνῆται καὶ οἱ ἔχον οἰήια νηῶν.
Καὶ ταμίαι παρὰ νηυσὶν ἔσαν σίτοιο δοτῆρες.
Καὶ μὴν οἱ τότε γ' εἰς ἀγορὴν ἴσαν, οὕνεκ' Ἀχιλλεὺς
Ἐξεφάνη, δηρὸν δὲ μάχης ἐπέπαυτ' ἀλεγεινῆς,
Τὼ δὲ δύω σκάζοντε βάτην Ἄρεος θεράποντε,
Τυδείδης τε μενεπτόλεμος, καὶ δῖος Ὀδυσσεύς.
Ἔγχει ἐρειδομένω, ἔτι γὰρ ἔχον ἕλκεα λυγρὰ,
Κὰδ δὲ μετὰ πρώτῃ ἀγορῇ ἵζοντο κιόντες.
Αὐτὰρ ὁ δεύτατος ἦλθεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων.
Ἕλκος ἔχων, καὶ γὰρ τὸν ἐνὶ κρατερῇ ὑσμίνῃ,
Οὖτα Κόων Ἀντηνορίδης χαλκήρεϊ δουρί,
Αὐτὰρ ἐπειδὴ πάντες ἀολλίσθησαν Ἀχαιοί,
Τοῖσι δ' ἀνιστάμενος μετέφη πόδας ὠκὺς Ἀχιλλεύς.
Ἀτρείδη, ἦ ἄρ τι τόδ' ἀμφοτέροισιν ἄρειον,
Ἔπλετο σοὶ καὶ ἐμοί, ὅτε νῶΐ περ ἀχνυμένω κῆρ,
Θυμοβόρῳ ἔριδι μενεήναμεν εἵνεκα κούρης,
Τὴν ὄφελ' ἐν νήεσσι κατακτάμεν Ἄρτεμις ἰῷ.
Ἤματι τῷ, ὅτ' ἐγὼν ἑλόμην Λυρνησσὸν ὀλέσσας,
Τῷ κ' οὐ τόσσοι Ἀχαιοὶ ὀδὰξ ἕλον ἄσπετον οὖδας,
Δυσμενέων ὑπὸ χερσὶν ἐμεῦ ἀπομηνίσαντος,
Ἕκτορι μὲν καὶ Τρωσὶ τὸ κέρδιον, αὐτὰρ Ἀχαιοὺς
Δηρὸν ἐμῆς καὶ σῆς ἔριδος μνήσεσθαι ὀΐω,
Ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν ἀχνύμενοί περ,
Θυμὸν ἐνὶ στήθεσσι φίλον δαμάσαντες ἀνάγκῃ,
Νῦν δ' ἤτοι μὲν ἐγὼ παύω χόλον, οὐδέ τί με χρὴ
Ἀσκελέως αἰεὶ μενεαινέμεν, ἀλλ' ἄγε θᾶσσον,
Ὄτρυνον πόλεμόνδε κάρη κομόωντας Ἀχαιοὺς,
Ὄφρ' ἔτι καὶ Τρώων πειρήσομαι ἀντίος ἐλθὼν,
Αἴ κ' ἐθέλωσ' ἐπὶ νηυσὶν ἰαύειν, ἀλλά τιν' οἴω
Ἀσπασίως αὐτῶν γόνυ κάμψειν ὅς κε φύγῃσιν
Δηΐου ἐκ πολέμοιο ὑπ' ἔγχεος ἡμετέροιο.
Ὣς ἔφαθ', οἱ δ' ἐχάρησαν ἐϋκνήμιδες Ἀχαιοί.
Μῆνιν ἀπειπόντος μεγαθύμου Πηλείωνος.
Τοῖσι δὲ καὶ μετέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων.
Αὐτόθεν ἐξ ἕδρης, οὐδ' ἐν μέσσοισιν ἀναστὰς,
Ὦ φίλοι ἥρωες Δαναοί θεράποντες Ἄρηος.
Ἑσταότος μὲν καλὸν ἀκουέμεν, οὐδὲ ἔοικεν

ὑββάλλειν,

ἐνῆκεν.] ἐνέβαλεν. ἀμβροσίην.] θεῖα ὄντα. χρὼς ἔμπεδος.] τὸ σῶμα ἄφθορον. αὐτὰρ ὁ βῆ.] ζητεῖται διὰ ποίαν αἰτίαν οὐ χρῆται κήρυξι ὁ Ἀχιλλεὺς πρὸς τὸ συγκαλέσαι τοὺς ὄχλους. ῥητέον οὖν ὅτι ἔθος ἐστὶν ἀρχαῖον αὐτοῦ τοῦτο. οὕτως γοῦν καὶ ἐν τῇ α. ῥαψῳδίᾳ αὐτὸς Ἀχιλλεὺς συγκαλεῖ. ἄλλως τε καὶ διὰ τὴν χαρὰν μετὰ σπουδῆς συνδεδραμήκασιν, οὐ δὲ τοὺς κήρυκας ἀναμείναντες. οἰήια.] οἴακας· πηδάλια. ταμίαι.] οἱ φύλακες τῆς τροφῆς. τὼ δὲ δύω σκάζοντε.] συλληπτικῶς πέφρακε. μόνος γὰρ ὁ Διομήδης ὤφειλε σκάζειν κατὰ τοῦ ταρσοῦ τετρωμένος. ὁ μέντοι Ὀδυσσεὺς τὴν πλευράν. εἰ μὴ κατὰ συμπάθειαν τῶν μορίων δέξαιμεν αὐτὸν τοῦτο πεπονθέναι. ἐρειδομένω.] ἐπερειδόμενοι. σκηριπτόμενοι. πρώτῃ ἀγορῇ.] τῇ προεδρείᾳ τόδε. ἄρειον.] κατ' ἐπερώτησιν ἀναγνωστέον. θέλει γὰρ εἰπεῖν ὅτι ἄρειον ἀμφοτέροις ὁμονοεῖν ὑπάρχει. δεύτατος.] ἔσχατος. ἄρειον.] βέλτιον. Λυρνησσόν.] πόλις ἐστὶ Ὑποπλακίου Θήβης ἐστὶ Κιλικίας. τῷ κ' οὐ τόσσοι] οὕτως ἂν οὐ τοσοῦτοι. ὀδὰξ ἕλον ἄσπετον οὖδας.] ἔδακον τὴν γῆν ἀναιρεθέντες. προτετύχθαι.] προγεγονέναι. ἀσκελέως.] ἄγαν σκληρῶς. ἀμετατρεπτί. μενεαινέμεν.] ὀργίζεσθαι. ἰαύειν.] κατευνάζεσθαι. ἐξ ἕδρης.] ἐκ τῆς καθέδρας.

ὑββάλλειν.]

Ὑββάλλειν, χαλεπὸν γάρ ἐπιστάμενόν περ ἐόντα.
Ἀνδρῶν δ' ἐν πολλῷ ὁμάδῳ πῶς κέν τις ἀκούσαι,
Ἢ εἴποι, βλάβεται δὲ λιγύς περ ἐὼν ἀγορητής.
Πηλείδῃ μὲν ἐγὼν ἐνδείξομαι, αὐτὰρ οἱ ἄλλοι,
Σύνθεσθ' Ἀργεῖοι, μῦθόν τ' εὖ γνῶτε ἕκαστος.
Πολλάκι δή μοι τοῦτον Ἀχαιοὶ μῦθον ἔειπον.
Καί τε με νεικείεσκον, ἐγὼ δ' οὐκ αἴτιός εἰμι.
Ἀλλὰ Ζεὺς καὶ μοῖρα, καὶ ἠεροφοῖτις Ἐρυννύς.
Οἵ τε μοι ἐν ἀγορῇ φρεσὶν ἔμβαλον ἄγριον ἄτην.
Ἤματι τῷ, ὅτ' Ἀχιλλῆος γέρας αὐτὸς ἀπηύρων.
Ἀλλὰ τί κεν ῥέξαιμι, θεὸς διὰ πάντα τελευτᾷ.
Πρέσβα Διὸς θυγάτηρ Ἄτη, ἣ πάντας ἀᾶται
Οὐλομένη, τῇ μέν θ' ἁπαλοὶ πόδες, οὐ γὰρ ἐπ' οὔδει
Πίλναται, ἀλλ' ἄρα ἥ γε κατ' ἀνδρῶν κράατα βαίνοι,
Βλάπτουσ' ἀνθρώπους, κατὰ δ' οὖν ἕτερόν γε πέδησε.
Καὶ γάρ δή νύ ποτε Ζῆν' ἀάσατο τόν περ ἄριστον
Ἀνδρῶν, ἠδὲ θεῶν φασὶν ἔμμεναι, ἀλλ' ἄρα καὶ τὸν
Ἥρη θῆλυς ἐοῦσα, δολοφροσύνῃς ἀπάτησεν,
Ἤματι τῷ, ὅτ' ἔμελλε βίην Ἡρακληείην
Ἀλκμήνη τέξεσθαι ἐϋστεφάνῳ ἐνὶ Θήβῃ.
Ἤτοι ὅ γ' εὐχόμενος μετέφη πάντεσσι θεοῖσι.
Κέκλυτέ μευ πάντες τε θεοί, πᾶσαί τε θέαιναι,
Ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι ἀνώγει.
Σήμερον ἄνδρα φόως δὲ μογοστόκος Εἰλείθυια
Ἐκφανεῖ, ὃς πάντεσσι περικτιόνεσσιν ἀνάξει,
Τῶν ἀνδρῶν γενεῆς οἵ θ' αἵματος ἐξ ἐμεῦ εἰσί.
Τὸν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη.
Ψευστήσεις, οὐδ' αὖτε τέλος μύθῳ ἐπιθήσεις.
Εἰ δ' ἄγε νῦν μοι ὄμοσσον Ὀλύμπιε καρτερὸν ὅρκον,
Ἦ μὲν τὸν πάντεσσι περικτιόνεσσιν ἀνάξειν,
Ὅς κεν ἐπ' ἤματι τῷδε πέσῃ μετὰ ποσσὶ γυναικὸς
Τῶν ἀνδρῶν, οἳ σῆς ἐξ αἵματός εἰσι γενέθλης.
Ὣς ἔφατο, Ζεὺς δ' οὔτι δολοφροσύνην ἐνόησεν.
Ἀλλ' ὄμοσεν μέγαν ὅρκον ἔπειτα δὲ πολλὸν ἀάσθη.
Ἥρη δ' ἀΐξασα λίπεν ῥίον Οὐλύμποιο.
Καρπαλίμως δ' ἵκετ' Ἄργος Ἀχαιϊκόν, ἔνθ' ἄρα ἤδη
Ἰφθίμην ἄλοχον Σθενέλου Περσηϊάδαο.
Ἡ δ' ἐκύει φίλον υἱόν, ὁ δ' ἕβδομος εἱστήκει μείς,
Ἐκ δ' ἄγαγε πρὸ φόως δὲ καὶ ἠλιτόμηνον ἐόντα.
Ἀλκμήνης δ' ἀπέπαυσε τόκον, σχέθε δ' Εἰλειθυίας.
Αὐτὴ δ' ἀγγελέουσα Δία Κρονίωνα προσηύδα.
Ζεῦ πάτερ ἀργικέραυνε ἔπος τί τοι ἐν φρεσὶ θήσω
Ἤδη ἀνὴρ γέγον' ἐσθλός, ὃς Ἀργείοισιν ἀνάξει.
Εὐρυσθεύς, Σθενέλοιο πάϊς Περσηϊάδαο
Σὸν γένος, οὔ οἱ ἀεικὲς ἀνασσέμεν Ἀργείοισιν.
Ὣς φάτο, τὸν δ' ἄχος ὀξὺ κατὰ φρένα τύψε βαθεῖαν.

Αὐτίκα

ὑββάλλειν.] ὑποκρούειν. ἐμποδίζειν τὸν λέγοντα. τινὲς δὲ κακῶς ἤκουσαν τὸ δὶ ἑτέρου λέγειν. ἐστ' ὅτε μὲν καλὸν ἀκουέμεν, οὐ δὲ ἔοικεν ὑββάλλειν.] ἄλλως ὁ Ἀγαμέμνων ὅτι μέλλει θορυβεῖσθαι ὡς αἴτιος γεγονὼς φθορᾶς τῇ Ἑλληνικῇ στρατιᾷ, ἡσυχίαν ἑαυτῷ προκατασκευάζει λέγων. δύσκολον εἶναι ἐν πολλῷ θορύβῳ διαλέγεσθαι. ἔνιοι δὲ καθεζόμενον τὸν Ἀγαμέμνονα ὑπενόησαν δημηγορεῖν. ἐπιστάμενον.] ἔμπειρον. βλάβεται δέ.] ἐμποδίζεται. βλάπτεται. Πηλείδῃ μὲν ἐγὼν ἐνδείξομαι.] οἷον τὴν ἀπολογίαν τῶν λόγων πρὸς Ἀχιλλέα ποιήσομαι φανερῶς, ἢ ἀπολογήσομαι. σύνθεσθ' Ἀργεῖοι. οἱ δὲ λοιποὶ ἀκούσαντες, εἴπατε τοῖς μὴ ἀκούσασι. ἠεροφοῖτις.] ἡ διὰ τοῦ σκότους φοιτῶσα. ἢ ἀόρατος. ἢ ἡ ἀπροοράτως φοιτῶσα, καὶ ἐπερχομένη, ὡς τιμωρὸς τῶν ἀδικημάτων. ἔστι δὲ καταχθονία δαίμων ἡ ἐρινύς. οἷον ἡ διερευνῶσα τὰ ἐν ταῖς πράξεσιν ἔργα. θεὸς διὰ πάντα τελευτᾷ.] θεὸς γὰρ πᾶσι τοῖς πραττομένοις τέλος ἐπάγει. πρέσβα.] ἔντιμος. ἀᾶται.] βλάπτει. οὐ γὰρ ἐπ' οὔδει πίλναται.] οὐ προσπελάζει τῇ γῇ. κατ' ἀνδρῶν κράατα βαίνει.] κατὰ τὰς τῶν ἀνθρώπων κεφαλὰς ἐπιβαίνει. κατὰ δ' οὖν ἕτερόν γε πέδησεν.] ἕνα γοῦν τινὰ ἔβλαψεν ὅτι μὴ πολλούς. ἀάσατο.] ἔβλαψεν ἡ ἄτη. θῆλυς.] θήλεια. ἐϋστεφάνῳ ἐνὶ Θήβῃ.] κατατετειχισμένῃ, μεταφορικῶς, διὰ τὸ ὑπὸ Ἀμφίονος καὶ Ζήθου αὐτὴν τετειχίσθαι. μογοστόκος.] ἡ περὶ τὰς τικτούσας κοποιῶσα, ἢ ἡ τοὺς μόγους ἐπικουφίζουσα τῶν τικτουσῶν. περικτιόνεσσι.] περιοίκοις. αἵματος.] ἀντὶ τοῦ σπέρματος. γένους. ψευστήσεις.] ψεύσῃ. πέσῃ μετὰ ποσσὶ γυναικός.] γεννηθῇ ἀπὸ τοῦ παρακολουθοῦντος. ἀάσθη.] ἠπατήθη. ῥίον.] ὄρους ἀκρωτήριον. ἰφθίμην ἄλοχον.] τὴν Θεσσαλοῦ γυναῖκα. ἰφθίμην λέγει ἐπιθετικῶς ἀντὶ τοῦ ἀγαθήν. τὸ γὰρ κύριον αὐτῆς ὄνομα ἦν Λευκίππη. ἐκύει κατὰ γαστρὸς εἶχεν. μείς.] καὶ μὴν Αἰολικῶς ὥσπερ ῥὶς ῥινός, καὶ θὶς θινός. οὕτω καὶ μεὶς μεινὸς κλιθήσεται κατὰ τὴν ἀναλογίαν. ἠλιτόμηνον.] διημαρτηκότα τοῦ τελείου ἀριθμοῦ τῶν ἐννέα μηνῶν. ἑπταμηνιαῖος γὰρ Εὐρυσθεὺς ἦν. ἀλιτεῖν οὖν τὸ ἀποτυχεῖν. Ἀλκμήνης δ' ἀπέπαυσε.] Ζεὺς μιγεὶς τῇ Ἠλεκτρυόνος Ἀλκμήνῃ ὃν τρόπον

ὃν τρόπον εἴρηται ἐν τῇ ξ. ἔγκυον κατέστησε. μελλούσης δὲ τίκτειν. ὤμοσεν ἐν θεοῖς τὸν ἐκείνῃ τῇ ἡμέρᾳ γεννηθέντα, τῶν ἐξ αὐτοῦ βασιλεύσειν. Ἥρα δὲ ζηλοτύπως διατεθεῖσα, τὰς μὲν Ἀλκμήνης ὠδῖνας ἐπέσχεν, Ἀντίβιαν δὲ ἥν τινες Νικίππην εἶπον τὴν Σθενέλου γυναῖκα κυοφοροῦσαν Εὐρυσθέα ἑπτάμηνον τεκεῖν ἐποίησεν. ὅθεν καὶ τὰ ἑπτάμηνα γενόμενα τροφῆς μοῖραν εἴληφε. βασιλεὺς δὲ ὢν Εὐρυσθεὺς Ἡρακλεῖ τοὺς ἄθλους ἐπέταξεν. οὓς τελειώσας κατὰ τὰς Ἀθηνᾶς καὶ Ἀπόλλωνος ὑποθήκας, ἀθανασίας μετέλαβε. πῶς τὰ ἑπταμηνιαῖα ζωογονοῦνται. τὰ δὲ ὀκταμηνιαῖα οὔ· καὶ λέγομεν τρεῖς κινήσεις ἔχειν τὸ βρέφος ἐν τῇ γαστρί. τὴν κατὰ δ μῆνα καθ' ἣν τὰς φυσικὰς ἐμφαίνει κινήσεις. καὶ ἔτι τὴν καθ' ἕβδομον. καθ' ἣν ἔχει κίνησιν τοῦ εἰς φῶς προελθεῖν. ἀλλ' ἡ μήτηρ ἀδυνατεῖ καὶ ἄωρος οὖσα ἀποβαλεῖν. διὰ τοῦτο γίγνεται καὶ ἑτέρα κίνησις κατὰ τὸν θ καθ' ἣν ἔχει πρὸς δυνάμεως καὶ ἡ μήτηρ ἀποβαλεῖν αὐτό. αἱ δὲ κινήσεις ἐντάκτως εἰς δ. εἶθ' οὕτως εἰς τρεῖς, ὡς εὐθενεῖσθαι εἶτα εἰς δύο μῆνας ὡς ἔτι εὐσθενεῖσθαι. ἐξ ὧν ἀποτελεῖται τὸ ἐννεάμηνον. οὕτως ἔχουσι καὶ αἱ ὀπῶραι ἀπότριψιν, ὡριμότητα, καὶ ἀποβολὴν τῆς μητρός, καθ' ἣν ἀποβάλλει ἡ μήτηρ ὅταν ξηρανθῇ τὸ μεταξὺ τῆς μητρὸς καὶ τῆς ὀπώρας λεγόμενον πισμάτιον. εἰς τοίνυν τὸν ἕβδομον μῆνα, ἐπεὶ ἔλαβε κίνησιν τοῦ εἰς φῶς προελθεῖν εἰ γένηται τοῦτο, ἀλγεῖ μὲν ἡ μήτηρ, τὸ δὲ βρέφος σώζεται. κατὰ δὲ τὸν η, ὡς συνεχοῦς κινήσεως οὔσης πρὸς τὸν θ. καὶ διακοπείσης ἐκείνης, ἀπόλλυται τὸ κυοφορούμενον καὶ πολλάκις καὶ ἡ μήτηρ. εἰς γὰρ τὴν συνεχῆ κίνησιν εἰ γένηται τμῆσις ἐπὶ πλέον βλάπτει, καὶ δῆλον ἐκ τῆς φλεβοτομίας. οἱ δὲ Πυθαγόρειοι καὶ μαθηματικῶς ἤτοι ἀριθμητικῶς τὴν αἰτίαν ἀποδιδόασι. λέγοντες, ἐκκείσθω τρίγωνον σκαληνὸν τὸ α β γ ἔχον τὴν μὲν α β μονάδων δ. τὴν δὲ β γ μονάδων ε. τὴν δὲ α γ μονάδων γ. φανερὸν ὅτι κατὰ τοὺς Πυθαγορείους ὁ μὲν γ καὶ ὁ ε ἄρρενες ὡς περιττοί. ὁ δὲ δ θῆλυς ὡς ἄρτιος. πεπολυπλασιάσθω ὁ δ ἐπὶ τὸν ε. γίνονται κ. καὶ ὁ ε ἐφ' ἑαυτὸν κε. ὁμοῦ με. ταῦτα ἐπὶ τὸ ἥμισυ τοῦ ἐμβαδοῦ τοῦ τριγώνου ἤτοι τὸν ς. γίνονται σο. ἃ περιέχουσι χρόνον μηνῶν θ. πάλιν τὸν δ ἐπὶ τὸν ε γίνονται κ. τὸν γ ἐπὶ τὸν ε γίνονται ιε. ὁμοῦ λε. ταῦτα ἐπὶ τὸ ἥμισυ τοῦ ἐμβαδοῦ τοῦ τριγώνου τὸν ς. ὁμοῦ σι. ἃ περιέχουσι χρόνον μηνῶν ζ. πάλιν τὸν γ ἐπὶ τὸν ε. γίνονται ιε. ἐφ' ἑαυτὸν γίνονται κε. ὁμοῦ μ. ταῦτα ἐπὶ τὸ ἥμισυ τοῦ ἐμβαδοῦ τὸν ς. γίνονται σμ. καὶ περιέχουσι χρόνον μηνῶν η. ἐπεὶ οὖν μόνον ἐπὶ τοῦ θ. καὶ ζ. κατὰ φυσικὴν συμπλοκὴν ἄρρενος καὶ θήλεος τοῦ ε. καὶ δ. καὶ γ. οἱ ἀριθμοὶ τοῦ ζ. καὶ θ. γίνονται, εἰκότως τὰ οὕτω τικτόμενα ζωογονεῖται. ἐπὶ δὲ τῶν η. μηνῶν, οὐ φαίνεται ἄρρενος συμπλοκὴ πρὸς τὸ θῆλυ. οὔτε γὰρ ὁ ε. οὔτε ὁ γ. γίγνονται ἐπὶ τὸν δ. ὅς ἐστι θῆλυς. εἰκότως οὖν παρὰ φύσιν οὔσης τῆς συμπλοκῆς οὐ ζωογονεῖται τὰ τικτόμενα.

Αὐτίκα δ' εἷλεν Ἄτην κεφαλῆς λιπαροπλοκάμοιο.
Χωόμενος φρεσὶν ᾗσι, καὶ ὤμοσε καρτερὸν ὅρκον,
Μή ποτ' ἐς Οὔλυμπόν τε καὶ οὐρανὸν ἀστερόεντα
Αὖτις ἐλεύσεσθαι Ἄτην ἣ πάντας ἀᾶται.
Ὣς εἰπὼν, ἔρριψεν ἀπ' οὐρανοῦ ἀστερόεντος
Χειρὶ περιστρέψας, τάχα δ' ἵκετο ἔργ' ἀνθρώπων.
Τὴν αἰεὶ στενάχεσχ', ὅθ' ἑὸν φίλον υἱὸν ὁρῷτο,
Ἔργον ἀεικὲς ἔχοντα ὑπ' Εὐρυσθῆος ἀέθλων.
Ὣς καὶ ἐγὼν, ὅτε δ' αὖτε μέγας κορυθαίολος Ἕκτωρ
Ἀργείους ὀλέεσκεν ἐπὶ πρύμνῃσι νέεσσιν,
Οὐ δυνάμην λελαθέσθ' Ἄτης ᾗ πρῶτον ἀάσθην,
Ἀλλ' ἐπεὶ ἀασάμην καί μευ φρένας ἐξέλετο Ζεὺς,
Ἂψ ἐθέλω ἀρέσαι, δόμεναί τ' ἀπερείσι' ἄποινα.
Ἀλλ' ὄρσευ πόλεμόνδε καὶ ἄλλους ὄρνυθι λαοὺς,
Δῶρα δ' ἐγὼν ὅδε πάντα παρασχεῖν, ὅσσα τοι ἐλθὼν
Χθιζὸς ἐνὶ κλισίῃσιν ὑπέσχετο δῖος Ὀδυσσεύς.
Εἰ δ' ἐθέλεις ἐπίμεινον ἐπειγόμενός περ Ἄρηος.
Δῶρα δέ τοι θεράποντες ἐμῆς παρὰ νηὸς ἑλόντες,
Οἴσουσ' ὄφρα ἴδηαι ὅ τοι μενοεικέα δώσω.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς
Ἀτρείδη κύδιστε ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
Δῶρα μὲν αἴκ' ἐθέλῃσθα παρασχέμεν ὡς ἐπιεικὲς,
Εἴτ' ἐχέμεν παρὰ σοὶ, νῦν δὲ μνησώμεθα χάρμης,
Αἶψα μάλ', οὐ γὰρ χρὴ κλοτοπεύειν ἐνθάδ' ἐόντας.
Οὐδὲ διατρίβειν, ἔτι γὰρ μέγα ἔργον ἄρεκτον,
Ὥς κέ τις αὖτ' Ἀχιλῆα μετὰ πρώτοισιν ἴδηται

Ἔγχεϊ

ἀργικέραυνε.] λαμπρὸν ἔχων κεραυνόν. ἢ ταχύν. Σθενέλοιο πάις Περσηιάδαο.] Εὐρυσθέως. ἦν δὲ γὰρ Περσέως ἔγγονος ὅθεν Περσηιάδην αὐτό φησι. οὔ οἱ ἀεικές.] οὐ δεινὸν, καὶ ἀεικὲς καὶ ἀπεοικός. καὶ οὐ χαλεπὸν αὐτῷ. αὐτίκα δ' εἷλ' Ἄτην κεφαλῆς λιπαροπλοκάμοιο.] ἀφείλετο δὲ ἐκ τῆς αὐτοῦ βαθυπλοκάμου κεφαλῆς τὴν Ἄτην οἱ δὲ, ἐκ τῆς ἠλειμμένους πλοκάμους ἐχούσης. καρτερὸν ὅρκον.] τὸ Στυγὸς ὕδωρ. τὴν Στύγα Ὠκεανοῦ παῖδα οὖσαν καὶ αὐτὴν τιμιωτάτην τῶν ἀδελφῶν μετὰ τὴν τῶν οὐρανίων θεῶν μάχην τῶν λεγομένων Τιτάνων, εἶναι συνέβη διὰ τήνδε τὴν αἰτίαν. οἱ περὶ Κρόνον Οὐρανοῦ παῖδες ἀρχαῖοι Τιτᾶνες τοῖς ἀμφὶ τὸν Δία νεωτέροις θεοῖς πόλεμον ἤραντο, καὶ τοῦ Διὸς συμμάχους ἀγείροντος, ἡ Στὺξ πρώτη πάντων σὺν τοῖς παισὶν αὐτῆς παρεγένετο. δι' ὃ ἐξόχως αὐτὴν ἐτίμησαν οἱ περὶ τὸν Δία θεοί. καὶ τὸ ὕδωρ αὐτῆς τῆς ἐν ᾅδου πηγῆς θεῶν ὅρκον ἐποίησαν. τάχα.] ταχέως. ἀρέσαι.] φιλοποιήσασθαι. ἁρμόσασθαι. δῶρα μὲν αἴκ' ἐθέλῃσθα παρασχέμεν.] τὰ μὲν δῶρα εἴτε θέλεις παρασχεῖν. εἴτε καὶ παρ' ἑαυτῷ ἔχειν. ἐν σοί ἐστι. παρὰ σοί.] πάρεστί σοι. κλοτοπεύειν.] ἤτοι ὑποκλέπτειν αὐτοὺς τῆς μάχης ἐν τοῖς λόγοις. ἢ ἑτέρου τινὸς ἐπιθυμεῖν.

διατρίβειν.] χρονοτριβεῖν, παρέλκειν. ἔτι γὰρ μέγα ἔργον ἄρεκτον.] ἀτέλεστον, ἄπρακτον. ἤτοι ἡ περὶ τῆς Πατρόκλου ταφῆς λέγει. ἢ τῆς τοῦ Ἕκτορος ἀναιρέσεως. πρῶτον.] νῦν καθάπαξ. ὁμιλήσωσι φάλαγγες.] εἰς ταυτὸ συνέλθωσιν αἱ τῶν στρατιωτῶν τάξεις πολεμῆσαι, συμπλακῆναι. πάσασθαι.] γεύσασθαι. ἄνωχθι.] κέλευσον. τὸ γὰρ μένος ἐστὶ καὶ ἀλκή.] τοῦτο γὰρ τῆς ῥωστικῆς δυνάμεως ἐστὶ παρασκευαστικὸν παντὸς τοῦ σώματος. ἄκμηνος.] ἄγευστος. μενοινάᾳ.] προθυμεῖται. θαρσαλέον.] ὑπομονητικόν, τολμηρόν. ἐρωῆσαι.] ὑποχωρῆσαι. σκέδασον.] σκόρπισον. ἰανθῇς.] διαχυθῇς, χαρῇς. ἀρεσάσθω.] διὰ ἀρίστων θεραπευσάτω φιλοφρονησάτω. πιείρῃ.] λιπαρᾷ, δαψιλεῖ, πολυτελεῖ. ἔστι δὲ ἡ μεταφορά. ἵνα μή τι δίκης ἐπιδευὲς ἔχῃσθα.] ἵνα μηδὲν ἐλλείπῃ τῶν ὀφειλόντων πρὸς σὲ δικαίως πραχθῆναι. ἐπ' ἄλλῳ.] πρὸς ἄλλους. οὐ μὲν γάρ τι νεμεσητὸν βασιλῆα ἄνδρ' ἀπαρέσασθαι.] οὐ μεμπτὸς γὰρ ὑπάρχει βασιλεὺς θεραπεύων ἄνδρα ὃν προηδίκησεν. χαλεπήνῃ.] κακῶς βλάψῃ. ὅ ἐστιν ἐς ὀργὴν ἔλθῃ. ἐν μοίρῃ.] κατὰ τὸ προσῆκον. κατὰ τὸ πρέπον. πρὸς δαίμονος.] κατὰ θεόν. μιμνέτω.] μενέτω. αὖθι.] αὐτόθι. ἐπειγόμενός περ.] καίτοι σπουδάζων. κρινάμενος.] ἐπιλεξάμενος. κούρητας.] κούρους, νέους. ἐνεικέμεν.] ἐνεγκεῖν. χθιζόν.] χθές. ὑπέστημεν.] ὑπεσχόμεθα. ταμέειν.] διχοτομῆσαι. διὰ ἐντόμων ποιήσασθαι.

ἄλλοτέ περ.

Ἔγχεϊ χαλκείῳ Τρώων ὀλέκοντα φάλαγγας,
Ὧδέ τις ὑμείων μεμνημένος ἀνδρὶ μαχέσθω.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς,
Μὴ δ' οὕτως ἀγαθός περ ἐὼν θεοείκελ' Ἀχιλλεῦ.
Νήστιας ὄτρυνε προτὶ Ἴλιον υἷας Ἀχαιῶν
Τρωσὶ μαχεσσομένους, ἐπεὶ οὐκ ὀλίγον χρόνον ἔσται
Φύλοπις, εὖτ' ἂν πρῶτον ὁμιλήσωσι φάλαγγες
Ἀνδρῶν, ἐν δὲ θεὸς πνεύσῃ μένος ἀμφοτέροισιν.
Ἀλλὰ πάσασθαι ἄνωχθι θοῇς ἐπὶ νηυσὶν Ἀχαιοὺς,
Σίτου καὶ οἴνοιο, τὸ γὰρ μένος ἐστὶ καὶ ἀλκή.
Οὐ γὰρ ἀνὴρ πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα,
Ἄκμηνος σίτοιο δυνήσεται ἄντα μάχεσθαι.
Εἴπερ γὰρ θυμῷ γε μενοινάᾳ πολεμίζειν,
Ἀλλά τε λάθρῃ γυῖα βαρύνεται ἠδὲ κιχάνει
Δίψα τε καὶ λιμὸς, βλάβεται δέ τε γούνατ' ἰόντι.
Ὃς δέ κ' ἀνὴρ οἴνοιο κορεσσάμενος καὶ ἐδωδῆς,
Ἀνδράσι δυσμενέεσσι πανημέριος πολεμίζῃ,
Θαρσαλέον νύ οἱ ἦτορ ἐνὶ φρεσὶν, οὐδέ τι γυῖα,
Πρὶν κάμνει, πρὶν πάντας ἐρωῆσαι πολέμοιο.
Ἀλλ' ἄγε λαὸν μὲν σκέδασον καὶ δεῖπνον ἄνωχθι
Ὅπλεσθαι, τὰ δὲ δῶρα ἄναξ ἀνδρῶν Ἀγαμέμνων
Οἰσέτω ἐς μέσσην ἀγορὴν, ἵνα πάντες Ἀχαιοὶ
Ὀφθαλμοῖσιν ἴδωσι, σὺ δὲ φρεσὶν ᾗσιν ἰανθῇς,
Ὀμνυέτω δέ τοι ὅρκον ἐν Ἀργείοισιν ἀναστὰς,
Μήποτε τῆς εὐνῆς ἐπιβήμεναι ἠδὲ μιγῆναι,
Ἣ θέμις ἐστὶν ἄναξ ἤτ' ἀνδρῶν ἠδὲ γυναικῶν,
Καὶ δὲ σοὶ αὐτῷ θυμὸς ἐνὶ φρεσὶν ἵλαος ἔστω,
Αὐτὰρ ἔπειτά σε δαιτὶ ἐνὶ κλισίῃς ἀρεσάσθω
Πιείρῃ, ἵνα μή τι δίκης ἐπιδευὲς ἔχῃσθα.
Ἀτρείδη σὺ δ' ἔπειτα δικαιότερος καὶ ἐπ' ἄλλῳ
Ἔσσεαι. οὐ μὲν γάρ τι νεμεσσητὸν βασιλῆα
Ἄνδρ' ἀπαρέσασθαι, ὅτε τις πρότερος χαλεπήνῃ.
Τὸν δ' αὖτε προσέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
Χαίρω σεῦ Λαερτιάδη τὸν μῦθον ἀκούσας.
Ἐν μοίρῃ γὰρ πάντα διίκεο καὶ κατέλεξας.
Ταῦτα δ' ἐγὼν ἐθέλω ὀμόσαι, κέλεται δέ με θυμὸς,
Οὐδ' ἐπιορκήσω πρὸς δαίμονος, αὐτὰρ Ἀχιλλεὺς
Μιμνέτω αὖθι τέως γε, ἐπειγόμενός περ Ἄρηος,
Μίμνετε δ' ἄλλοι πάντες ἀολλέες ὄφρα κε δῶρα
Ἐκ κλισίης ἔλθῃσι καὶ ὅρκια πιστὰ τάμωμεν.
Σοὶ δ' αὐτῷ τόδ' ἐγὼν ἐπιτέλλομαι ἠδὲ κελεύω,
Κρινάμενος κούρητας ἀριστῆας Παναχαιῶν,
Δῶρα ἐμῆς παρὰ νηὸς ἐνεικέμεν, ὅσσ' Ἀχιλῆϊ
Χθιζὸν ὑπέστημεν, δώσειν ἀγέμεν τε γυναῖκας.
Ταλθύβιος δέ μοι ὦκα κατὰ στρατὸν εὐρὺν Ἀχαιῶν,
Κάπρον ἑτοιμασάτω ταμέειν Διΐ τ' Ἠελίῳ τε.

Τὸν

Τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς.
Ἀτρεΐδη κύδιστε ἄναξ ἀνδρῶν Ἀγάμεμνον
Ἄλλοτε περ καὶ μᾶλλον ὀφέλλετε ταῦτα πένεσθαι
Ὁππότε τις μεταπαυσωλὴ πολέμοιο γένηται,
Καὶ μένος οὐ τόσον ἦσιν ἐνὶ στήθεσιν ἐμοῖσιν.
Νῦν δ' οἱ μὲν κέαται δεδαϊγμένοι, οὓς ἐδάμασεν
Ἕκτωρ Πριαμίδης ὅτε οἱ Ζεὺς κῦδος ἔδωκεν.
Ὑμεῖς δ' ἐς βρωτὺν ὀτρύνετον, ἦ τ' ἂν ἔγωγε,
Νῦν μὲν ἀνώγοιμι πτολεμίζειν υἷας Ἀχαιῶν.
Νήστιας ἀκμήνους. ἅμα δ' ἠελίῳ καταδῦντι.
Τεύξεσθαι μέγα δόρπον ἐπὴν τισαίμεθα λώβην.
Πρὶν δ' οὔπως ἂν ἔμοιγε φίλον κατὰ λαιμὸν ἰείη,
Οὐ πόσις οὐδὲ βρῶσις, ἑταίρου τεθνειῶτος.
Ὅς μοι ἐνὶ κλισίῃ δεδαϊγμένος ὀξεῖ χαλκῷ.
Κεῖται ἀνὰ πρόθυρον τετραμμένος, ἀμφὶ δ' ἑταῖροι
Μύρονται, τό μοι οὔτι μετὰ φρεσὶ ταῦτα μέμηλεν.
Ἀλλὰ φόνος τε καὶ αἷμα καὶ ἀργαλέος στόνος ἀνδρῶν.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς.
Ὦ Ἀχιλεῦ Πηλέως υἱὲ μέγα φέρτατ' Ἀχαιῶν.
Κρείσσων εἰς ἐμέθεν καὶ φέρτερος οὐκ ὀλίγον περ
Ἔγχει, ἐγὼ δέ κε σεῖο νοήματί κεν προβαλοίμην.
Πολλὸν ἐπεὶ πρότερος γενόμην καὶ πλείονα οἶδα.
Τῷ τοι ἐπιτλήτω κραδίη μύθοισιν ἐμοῖσιν,
Αἶψά τε φυλόπιδος πέλεται κόρος ἀνθρώποισιν.
Ἧς τε πλείστην μὲν καλάμην χθονὶ χαλκὸς ἔχευεν,
Ἄμητος δ' ὀλίγιστος, ἐπὴν κλίνῃσι τάλαντα
Ζεύς, ὅς τ' ἀνθρώπων ταμίης πολέμοιο τέτυκται.
Γαστέρι δ' οὔπως ἔστι νέκυν πενθῆσαι Ἀχαιούς.
Λίην γὰρ πολλοί τε καὶ ἐπήτριμοι ἤματα πάντα
Πίπτουσιν πότε κέν τις ἀναπνεύσειε πόνοιο.
Ἀλλὰ χρὴ τὸν μὲν καταθάπτειν ὅς κε θάνῃσι,
Νηλέα θυμὸν ἔχοντας ἐπ' ἤματι δακρύσαντας.
Ὅσσοι δ' ἂν πολέμοιο περὶ στυγεροῖο λίπωνται,
Μεμνῆσθαι πόσιος καὶ ἐδητύος, ὄφρ' ἔτι μᾶλλον
Ἀνδράσι δυσμενέεσσι μαχώμεθα νωλεμὲς αἰεί,
Ἑσσάμενοι χροῒ χαλκὸν ἀτειρέα. μηδέ τις ἄλλην
Λαῶν ὀτρυντὺν ποτιδέγμενος ἰσχαναάσθω.
Ἥδε γὰρ ὀτρυντὺς κακὸς ἔσσεται, ὅς κε λίπηται,
Νηυσὶν ἐπ' Ἀργείων, ἀλλ' ἀθρόοι ὁρμηθέντες
Τρωσὶν ἐφ' ἱπποδάμοισιν ἐγείρομεν ὀξὺν Ἄρηα,
Ἦ καὶ Νέστορος υἷας ὀπάσσατο κυδαλίμοιο.
Φυλεΐδην τε Μέγητα Θόαντά τε Μηριόνην τε.
Καὶ Κρειοντιάδην Λυκομήδεα, καὶ Μελάνιππον.
Βὰν δ' ἴμεν ἐς κλισίην Ἀγαμέμνονος Ἀτρεΐδαο.
Αὐτίκ' ἔπειθ' ἅμα μῦθος ἔην, τετέλεστο δὲ ἔργον.
Ἑπτὰ μὲν ἐκ κλισίης τρίποδας φέρον οὓς οἱ ὑπέστη.

Αἴθωνας

ἄλλοτέ περ καὶ μᾶλλον ὀφέλλετε ταῦτα πένεσθαι.] ἄλλοτέ ποτε ταῦτα δρᾶν ὀφείλετε. παυσαμένου τοῦ πολέμου καὶ μὴ τοσαύτης ὀργῆς κατεχούσης τὴν ψυχήν. μεταπαυσωλή.] ἀνάπαυσις. μένος ἦσιν.] ὀργὴ ὑπάρχει. κέαται.] κεῖνται. δεδαϊγμένοι.] διακεκομμένοι. βρωτύν.] βρῶσιν. ἦ τ' ἂν ἔγωγε.] τέως ἂν ἐγώ. ἐπὴν τισαίμεθα λώβην.] ἐπειδ' ἂν τὴν ὑπὲρ τῶν ἀποθανόντων ὕβριν καὶ βλάβην ἐκδικήσωμεν. ἰείη.] καθίει. κεῖται ἀνὰ πρόθυρον τετραμμένος.] κεῖται ἐπὶ τὴν θύραν ὁρῶν. ὅ ἐστι τετραμμένους ἔχων ἐν αὐτῇ τοὺς πόδας. οὕτω γὰρ τίθενται οἱ νεκροί. διὰ τὸ ἐξερχομένους τοῦ ἀνθρωπίνου βίου μηκέτι ἀναστρέφειν εἰς τοὺς οἴκους. τόμοι.] διό μοι. προβαλοίμην.] ἰκύσαιμι. ἐπεὶ πρότερος γενόμην.] ἐπειδὴ πρεσβύτερος ὑπάρχω. αἶψά τε φυλόπιδος πέλεται κόρος ἀνθρώποισι. ταχέως γὰρ κόρος λαμβάνει τοὺς ἀνθρώπους ἐν τῇ μάχῃ. ὀλίγοι εἰσὶν οἱ ἀπολειπόμενοι ζῶντες. πολλοὶ δὲ οἱ φονευόμενοι. καλάμην.] καλάμη δὲ κυρίως τὸ ξυλῶδες τῶν ἀσταχύων. ἢ τοὺς στάχυας περιφραστικῶς. ἀλληγορικῶς οὖν καλάμην νῦν κέκληκε τὰ σώματα τῶν ἀνῃρημένων. ἄμητον δὲ τὸν τοῦ θέρους καιρόν. θέλων δηλῶσαι ὅτι τροπῆς ἐκ Διὸς γιγνομένης πολλοὶ πίπτουσι κατὰ πόλεμον. ἄμητος.] προπαροξυτόνως μὲν ὁ ἀμώμενος καὶ θεριζόμενος καρπὸς τοῦ σίτου. ἀμητὸς δὲ ὀξυτόνως ὁ καιρὸς τοῦ θέρους. ὀλίγιστος.] ὀλίγος. μικρός. ἐπὴν κλίνῃσι τάλαντα Ζεύς.] ὁπόταν τροπὴν ἐργάσηται ὁ Ζεύς. ἐπήτριμοι.] ἐπάλληλοι. πυκνοί. νηλέα.] ἀνηλεῆ, ἀσυμπαθῆ. ἐπ' ἤματι δακρύσαντας.] μίαν ἡμέραν κλαύσαντας. νωλεμές.] ἀδιαλάπτως. ἑσσάμενοι.] περιβαλόμενοι. ἐνδυσάμενοι. ἀτειρέα τὸν ἀκαταπόνητον, καὶ ἄτρωτον. ὀτρυντύν.] παραίνεσιν. παρόρμησιν. ἰσχαναάσθω. ἀναμενέτω. ἀπεχέσθω. ὀπάσσατο.] προσεταιρίσατο. ἀκολούθους ἔλαβε.

τύσας.]

στήσας.] χριθμήσας, ἢ διὰ ζυγοῦ στήσας. οὕτως γὰρ οἱ ἀρχαῖοι τὰ χρήματα ἐστάθμιζον, ὅθεν ὀβολοστάται εἴρηνται. ἐπ' αὐτόφιν.] ἐπ' αὐτοῦ τοῦ τόπου. ὕπατος.] πρῶτος, μέγιστος. τίνυνται.] τιμωροῦνται. ἐπενεῖκαι.] ἐπιβαλεῖν, ἅψασθαι. οὔτ' εὐνῆς πρόφασιν κεχρημένος.] ὡς ὅτι διὰ συνουσίας χρείαν ταύτην ἀφειλόμην. ἀπροτίμαστος.] ἀνύβριστος, ἄθικτος συνουσίας, καὶ μίξεως ἀνδρός. ὅς τις σφ' ἀλίτηται ὀμόσσας.] ὅς τις ἁμάρτῃ ἐπιορκήσας.

στόμαχον.] λαιμόν. τὸν μὲν Ταλθύβιος ῥίψ' ἐπιδινήσας.] ἐπιστραφεὶς φησὶν ἔρριψεν εἰς θάλασσαν τὸν κάπρον, σημαίνει ὅτι τὰ ἀπὸ τῶν ὅρκων ἱερεῖα οὐκ ἤσθιον, ἀλλ' ἔριπτον, ἢ ἔκαιον· ὡς ἐν τῇ γ. φησί. βόσιν.] βορὰν βρῶσιν. δίδοισθα.] δίδοις. ἀμήχανος ἀλλά ποθι Ζεύς.] ὥστε τὸν Δία ἀμήχανον δηλοῦσθαι, ὅ ἐστι κακομήχανον. ἀγορὴν αἰψηρήν.] τὴν ταχέως ἀθροισθεῖσαν. ἀμφ' αὐτῷ.] περιπλακεῖσα τῷ Πατρόκλῳ δηλονότι. λίγ' ἐκώκυεν.] ὀξέως ἐθρήνει. ἄμυσσε.] κατέξεε τοῖς ὄνυξιν, ἐσπάραττεν. κιχάνομαι.] καταλαμβάνω. ὄρχαμε.] ἡγεμών. ἂψ ἀνιοῦσα.] εἰς τοὐπίσω ἀνερχομένη.

ὥς μοι δέχεται κακὸν ἐκ κακοῦ.

αἰεί.] ὡς ἐν ἀδιαλείπτοις γίγνομαι κακοῖς. κηδείους.] συνεστάτους, καὶ μᾶλλον

Αἴθωνας δὲ λέβητας ἐείκοσι, δώδεκα δ' ἵππους.
Ἐκ δ' ἄγον αἶψα γυναῖκας ἀμύμονας ἔργ' εἰδυίας
Ἕπτ', ἀτὰρ ὀγδοάτην Βρισηΐδα καλλιπάρῃον.
Χρυσοῦ δὲ στήσας Ὀδυσεὺς δέκα πάντα τάλαντα
Ἦρχ', ἅμα δ' ἄλλοι δῶρα φέρον κούρητες Ἀχαιῶν.
Καὶ τὰ μὲν ἐν μέσσῃ ἀγορῇ θέσαν, ἂν δ' Ἀγαμέμνων
Ἵστατο, Ταλθύβιος δὲ θεῷ ἐναλίγκιος αὐδὴν,
Κάπρον ἔχων ἐν χερσὶ, παρίστατο ποιμένι λαῶν,
Ἀτρείδης δὲ ἐρυσσάμενος χείρεσσι μάχαιραν,
Ἥ οἱ πὰρ ξίφεος μέγα κουλεὸν αἰὲν ἄωρτο,
Κάπρου ἀπὸ τρίχας ἀρξάμενος Διῒ χεῖρας ἀνασχὼν,
Εὔχετο, τοὶ δ' ἄρα πάντες ἐπ' αὐτόφιν εἵατο σιγῇ
Ἀργεῖοι κατὰ μοῖραν ἀκούοντες βασιλῆος.
Εὐξάμενος δ' ἄρα εἶπεν ἰδὼν εἰς οὐρανὸν εὐρύν
Ἴστω νῦν Ζεὺς πρῶτα θεῶν ὕπατος καὶ ἄριστος
Γῆ τε καὶ ἠέλιος καὶ ἐριννύες, αἵθ' ὑπὸ γαῖαν
Ἀνθρώπους τίνυνται, ὅς τις κ' ἐπίορκον ὀμόσσῃ,
Μὴ μὲν ἐγὼ κούρῃ Βρισηΐδι χεῖρ' ἐπενεῖκαι.
Οὔτ' εὐνῆς πρόφασιν κεχρημένος, οὔτε τευ ἄλλου.
Ἀλλ' ἔμεν' ἀπροτίμαστος ἐνὶ κλισίῃσιν ἐμῇσιν.
Εἰ δέ τι τῶνδ' ἐπίορκον, ἐμοὶ θεοὶ ἄλγεα δοῖεν
Πολλὰ μάλ' ὅσσα διδοῦσιν ὅς τις σφ' ἀλίτηται ὀμόσσας,
Ἦ, καὶ ἀπὸ στόμαχον κάπρου τάμε νηλέϊ χαλκῷ.
Τὸν μὲν Ταλθύβιος πολιῆς ἁλὸς ἐς μέγα λαῖτμα,
Ῥίψ' ἐπιδινήσας βόσιν ἰχθύσιν, αὐτὰρ Ἀχιλλεὺς
Ἀνστὰς Ἀργείοισι φιλοπτολέμοισι μετηύδα.
Ζεῦ πάτερ ἦ μεγάλας ἄτας ἄνδρεσσι δίδοισθα.
Οὐκ ἂν δήποτε θυμὸν ἐνὶ στήθεσσιν ἐμοῖσιν
Ἀτρείδης ὤρινε διαμπερὲς, οὐδέ κε κούρην
Ἦγεν ἐμεῦ ἀέκοντος ἀμήχανος, ἀλλά ποθι Ζεὺς
Ἤθελ' Ἀχαιοῖσι θάνατον πολέεσσι γενέσθαι,
Νῦν δ' ἔρχεσθ' ἐπὶ δεῖπνον ἵνα ξυνάγωμεν ἄρηα.
Ὣς ἄρ' ἐφώνησεν, λῦσεν δ' ἀγορὴν αἰψηρήν.
Οἱ μὲν ἄρ' ἐσκίδναντο ἑὴν ἐπὶ νῆα ἕκαστος,
Δῶρα δὲ Μυρμιδόνες μεγαλήτορες ἀμφεπένοντο.
Βὰν δ' ἐπὶ νῆα φέροντες Ἀχιλλῆος θείοιο,
Καὶ τὰ μὲν ἐν κλισίῃσι θέσαν, κάθισαν δὲ γυναῖκας.
Ἵππους δ' εἰς ἀγέλην ἔλασαν θεράποντες ἀγαυοί,
Βρισηῒς δ' ἄρ' ἔπειθ' ἰκέλη χρυσῇ Ἀφροδίτῃ,
Ὡς ἴδε Πάτροκλον δεδαϊγμένον ὀξέϊ χαλκῷ,
Ἀμφ' αὐτῷ χυμένη λίγ' ἐκώκυε, χερσὶ δ' ἄμυσσε,
Στήθεά τ' ἠδ' ἁπαλὴν δειρὴν, ἰδὲ καλὰ πρόσωπα,
Εἶπε δ' ἄρα κλαίουσα γυνὴ εἰκυῖα θεῇσι.
Πάτροκλέ μοι δειλῇ πλεῖστον κεχαρισμένε θυμῷ.
Ζωὸν μέν σε ἔλειπον ἐγὼ κλισίηθεν ἰοῦσα,
Νῦν δέ σε τεθνειῶτα κιχάνομαι ὄρχαμε λαῶν

Ἂψ ἀνιοῦσ', ὥς μοι δέχεται κακὸν ἐκ κακοῦ αἰεί.
Ἄνδρα μὲν, ᾧ ἔδοσάν με πατὴρ καὶ πότνια μήτηρ,
Εἶδον πρὸ πόλιος δεδαϊγμένον ὀξέϊ χαλκῷ.
Τρεῖς τε κασιγνήτους, τούς μοι μία γείνατο μήτηρ
Κηδείους, οἳ πάντες ὀλέθριον ἦμαρ ἐπέσπον.
Οὐδὲ μὲν οὐδέ μ' ἔασκες, ὅτ' ἄνδρ' ἐμὸν ὠκὺς Ἀχιλλεὺς
Ἔκτεινεν, πέρσεν δὲ πόλιν θείοιο Μύνητος
Κλαίειν, ἀλλ' ἐμ' ἔφασκες Ἀχιλλῆος θείοιο
Κουριδίην ἄλοχον θήσειν, ἄξειν δ' ἐνὶ νηυσὶν
Ἐς Φθίην, δαίσειν δὲ γάμον μετὰ Μυρμιδόνεσσι,
Τῷ σ' ἄμοτον κλαίω τεθνειότα μείλιχον αἰεί.
Ὣς ἔφατο κλαίουσ', ἐπὶ δὲ στενάχοντο γυναῖκες,
Πάτροκλον πρόφασιν, σφῶν δ' αὐτῶν κήδε' ἑκάστη.
Αὐτὸν δ' ἀμφὶ γέροντες Ἀχαιῶν ἠγερέθοντο
Λισσόμενοι δειπνῆσαι, ὁ δ' ἠρνεῖτο στεναχίζων·
Λίσσομαι, εἴ τις ἔμοιγε φίλων ἐπιπείθεθ' ἑταίρων,
Μή με πρὶν σίτοιο κελεύετε μηδὲ ποτῆτος
Ἄσασθαι φίλον ἦτορ, ἐπεί μ' ἄχος αἰνὸν ἱκάνει.
Δύντα δ' ἐς ἠέλιον μενέω, καὶ τλήσομαι ἔμπης.
Ὣς εἰπὼν, ἄλλους μὲν ἀπεσκέδασεν βασιλῆας,
Δοιὼ δ' Ἀτρεΐδα μενέτην, καὶ δῖος Ὀδυσσεύς,
Νέστωρ Ἰδομενεύς τε, γέρων θ' ἱππηλάτα Φοῖνιξ,
Τέρποντες, πυκινῶς ἀκαχήμενον, οὐδέ τι θυμῷ
Τέρπετο πρὶν πολέμου στόμα δύμεναι αἱματόεντος,
Μνησάμενος δ' ἀδινῶς ἀνενείκατο φώνησέν τε.
Ἦ ῥά νύ μοί ποτε καὶ σὺ δυσάμμορε φίλταθ' ἑταίρων,
Αὐτὸς ἐνὶ κλισίῃ λαρὸν παρὰ δεῖπνον ἔθηκας
Αἶψα καὶ ὀτραλέως, ὁπότε σπερχοίατ' Ἀχαιοὶ
Τρωσὶν ἐφ' ἱπποδάμοισι, φέρειν πολύδακρυν Ἄρηα,
Νῦν δὲ σὺ μὲν κεῖσαι δεδαϊγμένος, αὐτὰρ ἐμὸν κῆρ
Ἄκμηνον πόσιος καὶ ἐδητύος ἔνδον ἐόντων
Σῇ ποθῇ, οὐ μὲν γάρ τι κακώτερον ἄλλο πάθοιμι,
Οὐδ' εἴ κεν τοῦ πατρὸς ἀποφθιμένοιο πυθοίμην,
Ὅς που νῦν Φθίηφι τέρεν κατὰ δάκρυον εἴβει
Χήτει τοιοῦδ' υἷος, ὁ δ' ἀλλοδαπῷ ἐνὶ δήμῳ
Εἵνεκα ῥιγεδανῆς Ἑλένης Τρωσὶν πολεμίζω,
Ἠὲ τὸν, ὃς Σκύρῳ μοι ἐνιτρέφεται φίλος υἱός,
Εἴ που ἔτι ζώει γε Νεοπτόλεμος θεοειδής,
Πρὶν μὲν γάρ μοι θυμὸς ἐνὶ στήθεσσιν ἐώλπει
Οἶον ἐμὲ φθίσεσθαι ἀπ' Ἄργεος ἱπποβότοιο,
Αὐτοῦ ἐνὶ Τροίῃ, σὲ δέ τε Φθίηνδε νέεσθαι,
Ὡς ἄν μοι τὸν παῖδα θοῇ σὺν νηῒ μελαίνῃ
Σκυρόθεν ἐξαγάγοις, καί οἱ δείξειας ἕκαστα,
Κτῆσιν ἐμὴν, δμῶάς τε, καὶ ὑψερεφὲς μέγα δῶμα.

λον διαφέροντας τῇ συγγενείᾳ. φροντίδος ἀξίους. ἐπέσπον.] ἐπηκολούθησαν. ἔφασκες.] ἔλεγες. κουριδίην.] τὴν παρθενικήν. ἄξειν.] ἀπάξειν. δαίσειν.] εὐωχήσειν. ἄμοτον.] ἀμότως. ἀπληρώτως. σφῶν δ' αὐτῶν κήδε' ἑκάστη.] αἱ δὲ λοιπαὶ γυναῖκες σὺν τῇ Βρισηΐδι δῆθεν, ὡς ἐπὶ προφάσει Πατρόκλου ἔκλαιον· τῇ δὲ ἀληθείᾳ ἑκάστη ἐπ' αὐτῇ ἐθρήνει τὴν ἑαυτῆς συμφοράν. σίτοιο.] ἄρτου. ἄσασθαι.] κορεσθῆναι. δύντα δ' ἐς ἠέλιον.] ἕως ἡλίου δυσμάς. ἀπεσκέδασεν.] ἀπεσκόρπισε. τέρποντες.] ἀντὶ τοῦ τέρπειν βουλόμενοι, παρηγοροῦντες. πυκινῶς.] συνετῶς. ἀκαχήμενον.] λυπούμενον. ἀδινῶς ἀνενείκατο.] ἀθρόως καὶ ἐλεεινῶς καὶ οἰκτρῶς ἀνέκραξε. ἢ οἱονεὶ ἀνεστέναξε, καὶ πολὺ ἤγαγε πνεῦμα. δυσάμμορε.] κακόμοιρε. λαρόν.] ἡδύ. αἶψα καὶ ὀτραλέως.] ἐνδελεχῶς καὶ σπουδαίως. τὸ αὐτὸ εἶπεν ἐπιτάσεως χάριν. σπερχοίατο.] ταρασσόμενοι ἐπείγοιντο. σῇ ποθῇ.] τῷ σῷ πόθῳ. τῇ σῇ ζητήσει. κακώτερον.] χεῖρον. πυθοίμην.] ἀκούσαιμι. τέρεν.] ἁπαλόν. ὑγρόν. εἴβει.] κυρίως μὲν σπένδει. ἄρτι δὲ προχεῖ. στάζει. χήτει.] στερήσει. ἐνδείᾳ. σπάνει. ῥιγεδανῆς.] φρικτῆς. χαλεπῆς. ἐώλπει.] ἤλπιζεν. Σκυρόθεν.] Σκῦρος νῆσος μία τῶν Κυκλάδων. Ἀλεξάνδρου Ἑλένην ἁρπάσαντος Ἀγαμέμνων, καὶ Μενέλαος τοὺς Ἕλληνας κατὰ Τρώων ἐστρατολόγησαν. Πηλεὺς δὲ προγιγνώσκων ὅτι μοιρίδιον ἦν ἐν Τροίᾳ θανεῖν Ἀχιλλέα, παραγενόμενος εἰς Σκῦρον πρὸς Λυκομήδην τὸν βασιλέα παρέθετο τὸν Ἀχιλλέα γυναικείαν ἐσθῆτα ἀμφιέσας ὡς κόρην. ὁ δὲ αὐτὸν μετὰ τῶν θυγατέρων ἀνέτρεφε. χρησμοῦ δὲ δοθέντος μὴ ἁλώσεσθαι τὴν Ἴλιον χωρὶς Ἀχιλλέως, πεμφθέντες ὑφ' Ἑλλήνων Ὀδυσσεύς. Φοῖνιξ. καὶ Νέστωρ. Πυλίως ἀρνουμένου παρ' αὐτῷ τὸν παῖδα τυγχάνειν. πορευθέντες εἰς Σκῦρον ὑπονοήσαντες μετὰ τῶν παρθένων τὸν Ἀχιλλέα τρέφεσθαι. ταῖς Ὀδυσσέως ὑποθήκαις, ὅπλα καὶ ταλάρους ἔρριψαν σὺν ἱστουργικοῖς ἐργαλείοις ἔμπροσθεν τοῦ παρθενῶνος. αἱ μὲν οὖν κόραι ἐπὶ τοὺς ταλάρους ὥρμησαν, ὁ δ' ἐπὶ τὰ ὅπλα. πρότερον δὲ ταῖς παρθένοις συνδιατρίβων, ἔφθειρε Δηϊδάμειαν τὴν Λυκομήδους. ἥτις δὴ αὐτῷ ἐγέννησε Πύρρον τὸν ὕστερον Νεοπτόλεμον κληθέντα. ὅστις τοῖς Ἕλλησι νέος ὢν, συνεστρατεύσατο μετὰ θάνατον τοῦ πατρός. ἡ ἱστορία παρὰ τοῖς Κυκλικοῖς. κτῆσιν.] κτήματα.

ἀκαχῆσθαι.] λυπεῖσθαι. πύθοιτο.] ἀκούσει. μυρομένους.] κλαίοντας. πάμπαν.] παντελῶς δή. ἀποίχεαι.] οἴχῃ. πεπόρευσαι. μέμβλεται.] μέλει. παρακάθηται. μετὰ δεῖπνον.] ἐπὶ τὸ δεῖπνον. νέκταρ.] θεῖον πόμα. ἀμβροσίην.] θείαν τροφήν. ἵκηται.] καθίκηται. καθάψηται. ἅρπη.] ἄλλος ὄρνις. τινὲς ἰκτῖνον καλοῦσιν ἕτεροι δὲ φήνην. λέγεται δὲ καὶ τὸ δρέπανον. τανυπτέρυγι.] μακρὰς πτέρυγας ἐχούσῃ. λιγυφώνῳ.] ὀξυφώνῳ. κατέπαλτο.] καθήλατο. ἐριοθενέος.] μεγαλοσθενοῦς ἰσχυροῦ. πυκινόν.] πυκνόν. ἀσφαλές. ἐκποτέονται.] διίπτανται. ὑπὸ ῥιπῆς.] ὑπὸ σφοδρότητος καὶ ὁρμῆς. αἰθρηγενέος.] τοῦ αἰθρίαν ποιοῦντος. γανόωσαι.] λάμπουσαι. ἐκφορέοντο.] ἐξεφέροντο. κραταιγύαλοι.] ἰσχυρὰ γύαλα ἔχοντες. ἰσχυροί. γύαλα δὲ τὰ κοιλώματα. ὑπὸ στεροπῆς.] ἀστραπῆς. λαμπρότητος. καναχή.] ψόφος. σέλας.] λαμπρότης. ἄτλητον.] ἀνυπομόνητον ἀκαρτέρητον. δύσετο.] ἐνεδύσατο. μήνης.] σελήνης. οἰοπόλῳ.] ἐν ᾧ οἶες πολοῦνται καὶ ἀναστρέφονται.

ἀέρας.]

Ἤδη γὰρ Πηλῆά γ' ὀΐομαι ἢ κατὰ πάμπαν
Τεθνάμεν, ἤπου τυτθὸν ἔτι ζώοντ' ἀκαχῆσθαι,
Γήραΐ τε στυγερῷ καὶ ἐμὴν ποτιδέγμενον αἰεὶ
Λυγρὴν ἀγγελίην, ὅτ' ἀποφθιμένοιο πύθοιτο.
Ὣς ἔφατο κλαίων, ἐπὶ δὲ στενάχοντο γέροντες,
Μνησάμενοι τὰ ἕκαστος ἐνὶ μεγάροισιν ἔλειπεν.
Μυρομένους δ' ἄρα τούς γε ἰδὼν ἐλέησε Κρονίων,
Αἶψα δ' Ἀθηναίην ἔπεα πτερόεντα προσηύδα.
Τέκνον ἐμὸν, δὴ πάμπαν ἀποίχεαι ἀνδρὸς ἑῆος.
Ἦ νύ τοι οὐκέτι πάγχυ μετὰ φρεσὶ μέμβλετ' Ἀχιλλεύς
Κεῖνος ὅ γε προπάροιθε νεῶν ὀρθοκραιράων
Ἧσται ὀδυρόμενος ἕταρον φίλον, οἱ δὲ δὴ ἄλλοι
Οἴχονται μετὰ δεῖπνον, ὁ δ' ἄκμηνος καὶ ἄπαστος,
Ἀλλ' ἴθι οἱ νέκταρ τε καὶ ἀμβροσίην ἐρατεινὴν
Στάξον ἐνὶ στήθεσιν ἵνα μή μιν λιμὸς ἵκηται.
Ὣς εἰπὼν ὤτρυνε πάρος μεμαυῖαν Ἀθήνην,
Ἡ δ' ἅρπῃ εἰκυῖα τανυπτέρυγι λιγυφώνῳ.
Οὐρανοῦ ἐκ κατέπαλτο δι' αἰθέρος, αὐτὰρ Ἀχαιοὶ
Αὐτίκα θωρήσσοντο κατὰ στρατὸν, ἣ δ' Ἀχιλῆϊ
Νέκταρ ἐνὶ στήθεσσι καὶ ἀμβροσίην ἐρατεινὴν
Στάξ', ἵνα μή μιν λιμὸς ἀτερπὴς γούναθ' ἵκηται,
Αὐτὴ δὲ πρὸς πατρὸς ἐριοθενέος πυκινὸν δῶ
Ὤιχετο, τοὶ δ' ἀπάνευθε νεῶν ἐχέοντο θοάων,
Ὡς δ' ὅτε ταρφειαὶ νιφάδες Διὸς ἐκποτέονται
Ψυχραὶ ὑπὸ ῥιπῆς αἰθρηγενέος Βορέαο.
Ὣς τότε ταρφειαὶ κόρυθες λαμπρὸν γανόωσαι
Νηῶν ἐκφορέοντο, καὶ ἀσπίδες ὀμφαλόεσσαι,
Θώρηκές τε, κραταιγύαλοι, καὶ μείλινα δοῦρα.
Αἴγλη δ' οὐρανὸν ἷκε, γέλασσε δὲ πᾶσα περὶ χθὼν,
Χαλκοῦ ὑπὸ στεροπῆς, ὑπὸ δὲ κτύπος ὤρνυτο ποσσὶν
Ἀνδρῶν, ἐν δὲ μέσοισι, κορύσσετο δῖος Ἀχιλλεύς.
Τοῦ καὶ ὀδόντων μὲν καναχὴ πέλε, τὼ δέ οἱ ὄσσε
Λαμπέσθην, ὡσεί τε πυρὸς σέλας, ἐν δέ οἱ ἦτορ
Δῦν' ἄχος ἄτλητον, ὁ δ' ἄρα Τρωσὶ μενεαίνων,
Δύσετο δῶρα θεοῦ, τά οἱ Ἥφαιστος κάμε τεύχων,
Κνημῖδας μὲν πρῶτα περὶ κνήμῃσιν ἔθηκε
Καλὰς, ἀργυρέοισιν ἐπισφυρίοις ἀραρυίας.
Δεύτερον αὖ θώρηκα περὶ στήθεσσιν ἔδυνεν.
Ἀμφὶ δ' ἄρ' ὤμοισιν βάλετο ξίφος ἀργυρόηλον
Χάλκεον, αὐτὰρ ἔπειτα σάκος μέγα τε στιβαρόν τε
Εἵλετο, τοῦ δ' ἀπάνευθε σέλας γένετ' ἠΰτε μήνης.
Ὡς δ' ὅταν ἐκ πόντοιο σέλας ναύτῃσι φανείη
Καιομένοιο πυρὸς, τὸ δὲ καίεται ὑψόθ' ὄρεσφι
Σταθμῷ ἐν οἰοπόλῳ, τοὺς δ' οὐκ ἐθέλοντας ἄελλαι
Πόντον ἐπ' ἰχθυόεντα φίλων ἀπάνευθε φέρουσιν.
Ὣς ἀπ' Ἀχιλλῆος σάκεος σέλας αἰθέρ' ἵκανε

Καλοῦ

Καλοῦ δαιδαλέου. περὶ δὲ τρυφάλειαν ἀείρας,
Κρατὶ θέτο βριαρήν, ἡ δ' ἀστὴρ ὣς ἀπέλαμπεν,
Ἵππουρις τρυφάλεια, περισείοντο δ' ἔθειραι
Χρύσεαι ἃς Ἥφαιστος ἵει λόφον ἀμφὶ θαμειάς.
Πειρήθη δέ οἱ αὐτοῦ ἐν ἔντεσι δῖος Ἀχιλλεύς,
Εἰ οἱ ἐφαρμόσσειε, καὶ ἐντρέχοι ἀγλαὰ γυῖα.
Τῷ δ' ἠΰτε πτερὰ γίνετ', ἄειρε δὲ ποιμένα λαῶν.
Ἐκ δ' ἄρα σύριγγος πατρώϊον ἐσπάσατ' ἔγχος,
Βριθὺ, μέγα, στιβαρόν, τὸ μὲν οὐ δύνατ' ἄλλος Ἀχαιῶν
Πάλλειν, ἀλλά μιν οἶος ἐπίστατο πῆλαι Ἀχιλλεύς,
Πηλιάδα μελίην, τὴν πατρὶ φίλῳ τάμε Χείρων
Πηλίου κορυφῆς φόνον ἔμμεναι ἡρώεσσιν.
Ἵππους δ' Αὐτομέδων τε, καὶ Ἄλκιμος ἀμφιέποντες,
Ζεύγνυσαν, ἀμφὶ δὲ καλὰ λέπαδν' ἕσαν ἐν δὲ χαλινοὺς
Γαμφηλῇς ἔβαλον, κατὰ δ' ἡνία τεῖναν ὀπίσσω,
Κολλητὸν ποτὶ δίφρον, ὁ δ' ἄρα μάστιγα φαεινὴν
Χειρὶ λαβὼν ἀραρυῖαν, ἐφ' ἵπποιιν ἀνόρουσεν
Αὐτομέδων, ὄπιθεν δὲ κορυσσάμενος βῆ Ἀχιλλεύς,
Τεύχεσι παμφαίνων ὥς τ' ἠλέκτωρ ὑπερίων.
Σμερδαλέον δ' ἵπποισιν ἐκέκλετο πατρὸς ἑοῖο
Ξάνθε τε, καὶ Βαλίε, τηλεκλυτὰ τέκνα Ποδάργης,
Ἄλλως δὴ φράζεσθε σαωσέμεν ἡνιοχῆας,
Ἂψ Δαναῶν ἐς ὅμιλον, ἐπεί χ' ἕωμεν πολέμοιο.
Μηδ' ὡς Πάτροκλον λίπετ' αὐτόθι τεθνειῶτα.
Τὸν δ' ἄρ' ὑπὸ ζυγόφιν, προσέφη πόδας αἰόλος ἵππος
Ξάνθος, ἄφαρ δ' ἤμυσε καρήατι, πᾶσα δὲ χαίτη,
Ζεύγλης ἐξεριποῦσα παρὰ ζυγὸν οὖδας ἵκανεν,
Αὐδήεντα δ' ἔθηκε θεὰ λευκώλενος Ἥρη.
Καὶ λίην σ' ἔτι νῦν γε σαώσομεν ὄβριμ' Ἀχιλλεῦ.
Ἀλλά τοι ἦμαρ ἐγγύθεν ὀλέθριον, οὐδέ τι ἡμεῖς
Αἴτιοι, ἀλλὰ θεός τε μέγας, καὶ μοῖρα κραταιή.
Οὐδὲ γὰρ ἡμετέρῃ βραδυτῆτί γε, νωχελίῃ τε,
Τρῶες ἀπ' ὤμοιιν Πατρόκλου τεύχε' ἕλοντο,
Ἀλλὰ θεῶν ὤριστος, ὃν ἠΰκομος τέκε Λητώ,
Ἔκταν' ἐνὶ προμάχοισι, καὶ Ἕκτορι κῦδος ἔδωκε.
Νῶϊ δὲ καί κεν ἅμα πνοιῇ ζεφύροιο θέοιμεν,
Ἥν περ ἐλαφροτάτην φάσ' ἔμμεναι, ἀλλά σοι αὐτῷ
Μόρσιμόν ἐστι, θεῷ τε, καὶ ἀνέρι ἶφι δαμῆναι.
Ὣς ἄρα φωνήσαντος ἐρινύες ἔσχεθον αὐδήν,
Τὸν δὲ μέγ' ὀχθήσας προσέφη πόδας ὠκὺς Ἀχιλλεύς
Ξάνθε τί μοι θάνατον μαντεύεαι, οὐδέ τι σε χρή.
Εὖ νύ τοι οἶδα καὶ αὐτὸς, ὅ μοι μόρος ἐνθάδ' ὀλέσθαι
Νόσφι φίλου πατρὸς, καὶ μητέρος, ἀλλὰ καὶ ἔμπης,
Οὐ λήξω πρὶν Τρῶας ἅδην ἐλάσαι πολέμοιο
Ἦ ῥα. καὶ ἐν πρώτοις ἰάχων ἔχε μώνυχας ἵππους

ΙΛΙΑΔΟΣ

ἀείρας.] ἐπάρας. περισσείοντο.] περιεσείοντο. ἔθειραι.] αἱ δὲ ἔθους κεκοσμημέναι κόμαι αὐτῆς. ἐνεποίκιλλεν. ἐνέβαλεν. ἐφαρμόσσειεν.] ἁρμόσσειεν. ἐντρέχοι.] ἀκωλύτως χρῷτο. ὥστε μὴ ἐμποδίζεσθαι. τῷ δ' ἠΰτε πτερὰ γίνετο.] τῷ δὲ Ἀχιλλεῖ κοῦφα καὶ ἁρμόδια τὰ ὅπλα ἐγίγνοντο ὥσπερ πτερά. σύριγγος.] τῆς δορατοθήκης. ἐπίστατο.] ἀντὶ τοῦ ἠδύνατο. πῆλαι.] κινῆσαι. σεῖσαι. Πηλιάδα.] τὴν ἐκ Πηλίου ὄρους Θεσσαλίας τμηθεῖσαν. λέγει δὲ τὸ δόρυ. μελία γὰρ εἶδος δένδρου ἐπιτηδείου πρὸς κατασκευὴν δοράτων. Ἄλκιμος.] Ἀλκιμέδων ὑποκοριστικῶς. λέπαδνα.] οἱ ὑποτραχήλιοι ἱμάντες οἱ μασχαλιστῆρες. τηλεκλυτά.] πάνυ ἔνδοξα.

ποδάργης.] τοῖς ποσὶν ἐπαρκούσης ταχείας. ἄλλως.] μὴ οὐχὶ οὕτως κατὰ ἄλλην ἔννοιαν. φράζεσθε.] σύνετε. νοεῖτε. ἐπεὶ κ' ἕωμεν πολέμοιο.] ἐπὶ δ' ἂν ἀναμιχθῶμεν τοῖς πολεμίοις. ἔνιοι δὲ χέωμεν ὑποχωρήσομεν. ἐπεί χ' ἕωμεν.] ἐπειδ' ἂν κορεσθῶμεν. ὑπὸ ζυγόφιν.] ὑπὸ ζυγοῦ. αἰόλος.] ἀντὶ τοῦ ταχύς. ἤμυσε καρήατι.] παρέκλινε τὴν κεφαλὴν αὐτοῦ. ταχέως δὲ εἰς θάτερον ἔκλινε τὴν κεφαλὴν παρεπιστρέψας εἰς τοὐπίσω, ὡς προσβλέψων τῷ Ἀχιλλεῖ μέλλων αὐτῷ διαλέγεσθαι. χαίτη.] θρίξ. ζεύγλης.] ζεύξεως. ζυγοῦ. αὐδήεντα.] φωνῇ ἐνάρθρῳ χρώμενον. κραταιή.] ἰσχυρά. νωχελίῃ.] βραδυτῆτι ἀσθενείᾳ. θέοιμεν.] τρέχοιμεν. μόρσιμον.] μεμοιραμένον εἱμαρμένον. θεῷ τε καὶ ἀνέρι.] ὑπὸ θεοῦ Ἀπόλλωνος καὶ ἀνδρὸς Ἀλεξάνδρου. δαμῆναι.] δαμασθῆναι. ὣς ἄρα φωνήσαντος ἐρινύες ἔσχεθον αὐδήν.] οὕτως εἰπόντος φησὶ τοῦ ἵππου ἐπίσχον αὐτοῦ αἱ ἐρινύες τὴν φωνήν. πάντα γὰρ τὰ παράλογα καὶ τεράστια δοκεῖ ὑπὸ ἐρινύων γίγνεσθαι.

ΥΠΟΘΕΣΙΣ